UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## (Carmina) Pindari Carmina

### Pindarus

### Oxonii, (1935)

Nemea V

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1916

Visual Library

# *ΝΕΜΕΑ V*

## ΠΥΘΕΑΙ ΑΙΓΙΝΗΤΗΙ ΠΑΓΚΡΑΤΙΑΣΤΗΙ

στρ. α′ Οὐκ ἀνδριαντοποιός εἰμ᾿, ὥστ᾿ ἐλινύσοντα ἐργά-
ζεσθαι ἀγάλματ᾿ ἐπ᾿ αὐτᾶς βαθμίδος
ἑσταότ᾿· ἀλλ᾿ ἐπὶ πάσας
ὁλκάδος ἔν τ᾿ ἀκάτῳ, γλυκεῖ᾿ ἀοιδά,
στεῖχ᾿ ἀπ᾿ Αἰγίνας, διαγγέλλοισ᾿ ὅτι
Λάμπωνος υἱὸς Πυθέας εὐρυσθενὴς
5 νίκη Νεμείοις παγκρατίου στέφανον,
οὔπω γένυσι φαίνων τερείνας
6b ματέρ᾿ οἰνάνθας ὀπώραν,

ἀντ. α′ ἐκ δὲ Κρόνου καὶ Ζηνὸς ἥρωας αἰχματὰς φυτευθέν-
τας καὶ ἀπὸ χρυσεᾶν Νηρηΐδων
Αἰακίδας ἐγέραιρεν
ματρόπολίν τε, φίλαν ξένων ἄρουραν·
τάν ποτ᾿ εὔανδρόν τε καὶ ναυσικλυτὰν
10 θέσσαντο, πὰρ βωμὸν πατέρος Ἑλλανίου
στάντες, πίτναν τ᾿ ἐς αἰθέρα χεῖρας ἁμᾶ
Ἐνδαΐδος ἀριγνῶτες υἱοὶ
12b καὶ βία Φώκου κρέοντος,

ἐπ. α′ ὁ τᾶς θεοῦ, ὃν Ψαμάθεια
13b τίκτ᾿ ἐπὶ ῥηγμῖνι πόντου.
αἰδέομαι μέγα εἰπεῖν
14b ἐν δίκᾳ τε μὴ κεκινδυνευμένον,
15 πῶς δὴ λίπον εὐκλέα νᾶσον,
15b καὶ τίς ἄνδρας ἀλκίμους

Carmen periit in V  2 πάσης vett., corr. Tricl.  3 ὅ τοι Tricl.  5 νίκη Heyne: νικῇ BD: νικῆ Tricl., Bergk  6 τερείνας Dreykorn: τέρειναν codd.  6b οἰνάνθαν ὀπώρας Pauw  7 νηρεΐδων vett., corr. Tricl.  8 ἐγέραρεν Rom.  ξείνων vett., corr. Tricl.  13 ὃν E. Schmid: τὸν codd.  14b τ᾿ οὐ μὴ Hermann: τι μὴ Hartung

δαίμων ἀπ' Οἰνώνας ἔλασεν.
στάσομαι· οὔ τοι ἅπασα κερδίων
φαίνοισα πρόσωπον ἀλάθει' ἀτρεκής·
καὶ τὸ σιγᾶν πολλάκις ἐστὶ σοφώ-
τατον ἀνθρώπῳ νοῆσαι.

στρ. β' εἰ δ' ὄλβον ἢ χειρῶν βίαν ἢ σιδαρίταν ἐπαινῆ-
σαι πόλεμον δεδόκηται, μακρά μοι
20 αὐτόθεν ἅλμαθ' ὑποσκά-
πτοι τις· ἔχω γονάτων ὁρμὰν ἐλαφράν·
καὶ πέραν πόντοιο πάλλοντ' αἰετοί.
πρόφρων δὲ καὶ κείνοις ἄειδ' ἐν Παλίῳ
Μοισᾶν ὁ κάλλιστος χορός, ἐν δὲ μέσαις
φόρμιγγ' Ἀπόλλων ἑπτάγλωσσον
24b χρυσέῳ πλάκτρῳ διώκων

ἀντ. β' ἁγεῖτο παντοίων νόμων· αἱ δὲ πρώτιστον μὲν ὕμνη-
σαν Διὸς ἀρχόμεναι σεμνὰν Θέτιν
26 Πηλέα θ', ὥς τέ νιν ἁβρὰ
Κρηθεῒς Ἱππολύτα δόλῳ πεδᾶσαι
ἤθελε ξυνᾶνα Μαγνήτων σκοπὸν
πείσαισ' ἀκοίταν ποικίλοις βουλεύμασιν,
ψεύσταν δὲ ποιητὸν συνέπαξε λόγον,
30 ὡς ἦρα νυμφείας ἐπείρα
30b κεῖνος ἐν λέκτροις Ἀκάστου

ἐπ. β' εὐνᾶς· τὸ δ' ἐναντίον ἔσκεν·
31b πολλὰ γάρ νιν παντὶ θυμῷ
παρφαμένα λιτάνευεν.

16 ἀποινώσας Ald. 17 ἀτρεκές e scholl. Bergk 19 χερῶν Tricl. σιδηρίταν codd., corr. Heyne 20 ἔχω Tricl. : ἕξω vett. γουνάτων vett., corr. Tricl. ἐλαφρὰν ὁρμάν codd., transp. Turyn 22 κἀκείνοις codd., corr. Boeckh ἄειδ' ἐν Pauw : ἀείδει codd. : ἄειδεν E. Schmid 23 μέσαις E. Schmid : μέσσαις B : μοίσσαις D 26 κρηθηῒς codd., corr. Heyne 27 ξυνεῦνα B 29 συνέπλεξε D 30 ἦρα Schroeder : ἄρα codd. : ἆρα Boeckh : δὴ ἄρα Wackernagel 30b ἀκάστα D 31b νιν Mommsen : μιν codd.

32b τοῖο δ' ὀργὰν κνίζον αἰπεινοὶ λόγοι·
εὐθὺς δ' ἀπανάνατο νύμφαν,
33b ξεινίου πατρὸς χόλον
δείσαις· ὁ δ' εὖ φράσθη κατένευ-
σέν τέ οἱ ὀρσινεφὴς ἐξ οὐρανοῦ
35 Ζεὺς ἀθανάτων βασιλεύς, ὥστ' ἐν τάχει
ποντίαν χρυσαλακάτων τινὰ Νη-
ρεΐδων πράξειν ἄκοιτιν,

στρ. γʹ γαμβρὸν Ποσειδάωνα πείσαις, ὃς Αἰγᾶθεν ποτὶ κλει-
τὰν θαμὰ νίσεται Ἰσθμὸν Δωρίαν·
ἔνθα νιν εὔφρονες ἶλαι
σὺν καλάμοιο βοᾷ θεὸν δέκονται,
καὶ σθένει γυίων ἐρίζοντι θρασεῖ.
40 πότμος δὲ κρίνει συγγενὴς ἔργων πέρι
πάντων. τὺ δ' Αἰγίναθε δίς, Εὐθύμενες,
Νίκας ἐν ἀγκώνεσσι πίτνων
42b ποικίλων ἔψαυσας ὕμνων.

ἀντ. γʹ ἤτοι μεταΐξαντα καὶ νῦν τεὸς μάτρως ⟨σ'⟩ ἀγάλλει
κείνου ὁμόσπορον ἔθνος, Πυθέα.
ἁ Νεμέα μὲν ἄραρεν
μείς τ' ἐπιχώριος, ὃν φίλησ' Ἀπόλλων·
45 ἅλικας δ' ἐλθόντας οἴκοι τ' ἐκράτει
Νίσου τ' ἐν εὐαγκεῖ λόφῳ. χαίρω δ' ὅτι
ἐσλοῖσι μάρναται πέρι πᾶσα πόλις.
ἴσθι, γλυκεῖάν τοι Μενάνδρου
48b σὺν τύχᾳ μόχθων ἀμοιβὰν

ἐπ. γʹ ἐπαύρεο. χρὴ δ' ἀπ' Ἀθανᾶν
49b τέκτον' ἀεθληταῖσιν ἔμμεν·

32b τοῦ δὲ ὀργὰν codd., corr. Hermann 36 ποντιᾶν Heyne ποντιᾶν χρυσαλάκατον Mair πράξον D 38 μιν codd., corr. Mommsen 40 συγγενὲς D 41 Αἰγίναθε δίς E. Schwartz: Αἰγίνᾳ θεᾶς codd.: Αἰγίνᾳ θοός Mair 43 μεταίξας τε Benedictus σ' suppl. Bergk Πυθέα Mingarelli: πυθέας codd. 45 ἐλθόντας] ἔρδοντας ? Christ τε κράτει B: τε κρατεῖ D: corr. Boeckh: τ' ἐκράτεις Kayser

50 εἰ δὲ Θεμίστιον ἵκεις
50b ὥστ᾽ ἀείδειν, μηκέτι ῥίγει· δίδοι
φωνάν, ἀνὰ δ᾽ ἱστία τεῖνον
51b πρὸς ζυγὸν καρχασίου,
πύκταν τέ νιν καὶ παγκρατίῳ
φθέγξαι ἑλεῖν Ἐπιδαύρῳ διπλόαν
νικῶντ᾽ ἀρετάν, προθύροισιν δ᾽ Αἰακοῦ
ἀνθέων ποιαέντα φέρε στεφανώ-
ματα σὺν ξανθαῖς Χαρίσσιν.

50b δίδοι Hermann: δίδου codd. 52 πύκτα D παγκράτίου D τριπλόαν B
54 φέρε Wilamowitz : φέρειν codd. χάρισιν codd., corr. E. Schmid